# [<em>Oikonomikos</em> - suite]

**Auteur : Foucault, Michel**

## Présentation de la fiche

Coteb023_f0609
SourceBoite_023-14-chem | Hiéroclès.
LangueFrançais
TypeFicheLecture
RelationNumérisation d’un manuscrit original consultable à la BnF, département des Manuscrits, cote NAF 28730

## Références éditoriales

Éditeuréquipe FFL (projet ANR *Fiches de lecture de Michel Foucault*) ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle).
Droits

- Image : Avec l’autorisation des ayants droit de Michel Foucault. Tous droits réservés pour la réutilisation des images.
- Notice : équipe FFL ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l’Identique 3.0 (CC BY-SA 3.0 FR).

Notice créée par équipe FFL Notice créée le 19/03/2021 Dernière modification le 23/04/2021

609



μούμενος ἔργων κοινωνῆσαι τῶν ὑπὲρ σπόρου καὶ φυτείας καὶ τῶν ἄλλων τῶν κατὰ γεωργίαν. δυσπειθέστερος δ' ἴσως ὁ πρὸς θάτερα τῶν ἔργων, ὅσα γυναιξὶν ἀπονενέμηται, παρακαλῶν τὸν ἄνδρα λόγος. καὶ πάσχουσί γε οὐκ ἀπεικὸς οἱ καθαρειότεροι, μὴ καθ' ἑαυτοὺς εἶναι τοπάζοντες ἅψασθαι ταλασίας. ἐπεὶ γὰρ ὡς ἐπὶ τὸ πλῆθος εὐτελεῖς ἀνθρωπίσκοι καὶ τὸ τῶν κατεαγότων καὶ γυννίδων φῦλον εἰς τὴν ἐρίων ἐργασίαν καταφέρεται ζήλῳ θηλύτητος, οὐ δοκεῖ κατὰ τὸν ἀληθινώτερον ἄνδρα τυγχάνειν τὸ εἰς ταῦτα συγκαθιέναι· ὥστ' ἔγωγε τάχ' ἂν οὐδ' ἂν αὐτὸς συμβουλεύσαιμι τοῖς μὴ τελέαν παρεσχημένοις πίστιν ὑπὲρ τῆς ἑαυτῶν ἀρρενότητος καὶ σωφροσύνης ἅπτεσθαι τοιοῦδέ τινος. εἰ μέντοι διὰ τοιοῦδε βίου πεποιήκοι τις [ἂν] ἑαυτὸν πάσης ὑπονοίας ἀτόπου καθαρεύοντα, τί κωλύσει καὶ κατὰ ταῦτα τῇ γυναικὶ κοινωνῆσαι τὸν ἄνδρα; τῶν μὲν γὰρ ἄλλων κατοικιδίων ἔργων μὴ καὶ τὸ πλέον ἀνδράσι προσήκειν ἡγητέον ἤπερ γυναιξίν; ἔστι γὰρ καματωδέστερα καὶ ῥώμης δεόμενα σωματικῆς, οἷον ἀλέσαι καὶ σταῖς μάξαι διασχίσαι τε ξύλα καὶ ὕδωρ ἀνιμῆσαι καὶ σκεύη μεταθεῖναι καὶ διατινάξαι στρώματα καὶ πᾶν τὸ τούτοις παραπλήσιον. καὶ τὰ μὲν ὑπὲρ ἀνδρῶν ἀποχρῴη ἄν· ἐπιμετρῆσαι δέ τι καὶ τὴν γυναῖκα πρέπον, ὥστε μὴ τῆς ταλασίας κοινωνεῖν μόνον ταῖς θεραπαίναις, ἀλλὰ καὶ τῶν ἄλλων ἔργων τῶν ἐπανδροτέρων. καὶ γὰρ σιτοποιίας ἅψασθαι κατὰ τὴν ἐλευθέραν εἶναί μοι δοκεῖ καὶ ὕδωρ ἀνιμῆσαι ⟨καὶ⟩ πῦρ ἀνακαῦσαι καὶ κλίνην καταστρῶσαι καὶ πᾶν τὸ τούτοις ἐοικός. πολὺ δ' ἂν ἀνδρὶ φαίνοιτο καλλίων τῷ γε ἑαυτῆς, καὶ μάλιστα νεᾶνις οὖσα καὶ μηδέπω τετρυμένη κυοφορίαις, εἰ καὶ τρύγης ἀμπέλων αὐτουργοῦσα συμμετάσχοι καὶ συλλογῆς ἐλαιῶν, εἰ δὲ παρείκοι, καὶ σπόρου καὶ ἀρόσεως καὶ παραδόσεως ἐργαλείων τοῖς σκάπτουσιν ἢ φυτεύουσιν. τοῦτον γὰρ τὸν τρόπον ἕνεκα τῶν ἔργων οἶκος προστατούμενος ὑπ' ἀνδρὸς καὶ γυναικὸς ἄριστ' ἄν μοι δοκεῖ κατά γε ταῦτα διεξάγεσθαι.

22 Ξενοφῶντος Ἀπομνημονευμάτων γ' (8,8—10).

Καὶ οἰκίας δὲ λέγων τὰς αὐτὰς καλάς τε εἶναι καὶ χρη-

---

1 κοινων$^{\text{ῆ}}$ L | πόρου Tr. ‖ 2 δυσπειθέστερος MAL -τερα S | 3 ϑα$^{\text{τρ/}}$ fere L | ἀπονένεμηται (sine acc. S) SMA ἀπονένεμεται L: corr. Meineke ‖ 5 οὐκ ἀ πέικὸσ (videtur π ex τ factum) L οὐ κατεικὸς SM οὐ κατ' εἰκὸς A Tr. | καθαρειότεροι Meineke: καθαριώτεροι SMA καθαρώτεροι L ‖ 7 κατεαγόντων A ‖ 8 γυννιδων sine acc. S γυνίδων L (sine acc. L) Tr. γυννιδῶν MA | φῦλον εἰς reposui ex L ubi φίλον εἰς legitur: φυλον ὀσ (sic) S φύλωνοσ M φῦλον ὅς A φῦλον, ὡς Tr. ἐς pro ος conieccerat Meineke. sed εἰς transierat in ὡς ni fallor, ὡς in ος ‖ 9 τυγχάνει L ‖ 10 $^{\text{συγ}}$καθιέναι L | ἔγωγε libri nisi quod ἐγὼ A ‖ 11 τελέαν SM τελείαν AL ‖ 13 τοιοῦ τινος L ‖ 14 ἂν secl. Meineke ‖ 15 καθαρεύοντα Meineke: καθάπερ ὄντα libri. καθαρὸν praeiverat Gesn.[1] f. 435ᵛ mrg. | κωλύει Tr. | κοινωνῇ L cf. 1 adn. ‖ 16 μὲν deleri vult Meineke | ἄλλων καὶ κατοικιδίων L ‖ 17 post ἀνδράσι una litt. rasa M, scripserat ἀνδράσιν idque recte: sequitur γυναιξίν | ἡγητέον ⟨ἢ⟩ ἤπερ prop. de Arnim ‖ 19 σωματικοῖς L | καὶ σταϊμάξαι SMA καὶ συ Τάξαι (T rubr.) L καὶ σταῖ μάξαι Tr.: tacite corr. Gesn.[1]

2 ἄν SMA compendium in L quod μάλιστα interpretatur Vitelli subdubitans | ἐπιμετρ$^{\text{ῆ}}$ L | δέ τι (ut tacite scripserat Gesn.[2]) L: δ' ἔτι S δ' ἔτι M δὲ ἔτι A ‖ 4 θεραπέν$^{\text{αισ}}$ L ‖ 5 ἐπανδροτέρων Tr.: ἐπανδροτέραν SM ἐπ' ἀνδροτέρων (compend.) L ἐπ' ἀνδροτέραν (comp.) A | σιτοπονίας SMA -ίαν L; ἱστοπονίας ci. Cobet ut supra p. 697, 3 ‖ 6 ἐλευθερίαν A | καὶ addidit Gaisford ‖ 7 καὶ (ante κλίνην) om. S | καστρῶσαι M ‖ 8 εἰκός (compend.) L | πολὺ (πολύ L) SMAL πολλὰ Tr. inde πολλῷ Gesn.[2] p. 491 | ἂν MATr., sup. lin. S[1], om. L ‖ 9 μάλα L | μηδέπω Meineke Com. IV p. 714 adn.: μὴδ' (vel μηδ') ὅπως SMAL | τετρυμένη S τετρυμμένη M Tr. τετριμμένη A τετρημένη L | κυοφορίας εἰ S κυοφοριάσει ML κυο$^{\text{ει}}$φορίασ A: tacite corr. Gesn.[1] cf. *Hierokl.* p. 7, 8 de Arn. ‖ 10 τρῦγαν L | αὐτουργ- sed υ prius et ρ evanidum L ‖ 11 ἐλαῶν Tr. | παρήκοι SMAL: corr. Meineke ‖ 12 παραδόσεως Gaisford: προσδόσεως SMA προδόσεως L ‖ 13 τὸν om. A ‖ 14 προστατούμενος MA προσταττούμενος SL | ἄριστ' ἄν (άν M) μοι LM ἄριστα ἄν μοι A ἀριστά μοι S ‖ 15 δοκῆ ML ‖ 16 ecl. cum lemm. hab. SMAL ‖ 17 χρησίμους SA, Xen. ἀχρησίμους MLTr.



BnF MSS

[illegible]